# *ΠΕΡΙ ΝΕΟΤΗΤΟΣ ΚΑΙ ΓΗΡΩΣ, ΚΑΙ ΖΩΗΣ ΚΑΙ ΘΑΝΑΤΟΥ, ΚΑΙ ΑΝΑΠΝΟΗΣ*

1 *Περὶ δὲ νεότητος καὶ γήρως καὶ περὶ ζωῆς καὶ θανάτου λεκτέον νῦν· ἅμα δὲ καὶ περὶ ἀναπνοῆς ἀναγκαῖον ἴσως τὰς αἰτίας εἰπεῖν· ἐνίοις γὰρ τῶν ζῴων διὰ τοῦτο συμβαίνει τὸ ζῆν καὶ τὸ μὴ ζῆν. ἐπεὶ δὲ περὶ ψυχῆς ἐν ἑτέροις διώρισται, καὶ δῆλον ὅτι οὐχ οἷόν τ' εἶναι σῶμα τὴν οὐσίαν αὐτῆς, ἀλλ' ὅμως ὅτι γ' ἔν τινι τοῦ σώματος ὑπάρχει μορίῳ φανερόν, καὶ ἐν τούτῳ τινὶ τῶν ἐχόντων δύναμιν ἐν τοῖς μορίοις, τὰ μὲν οὖν ἄλλα τῆς ψυχῆς ἢ μόρια ἢ δυνάμεις, ὁποτέρως ποτὲ δεῖ καλεῖν, ἀφείσθω τὰ νῦν· ὅσα δὲ ζῷα λέγεται καὶ ζῆν, ἐν μὲν τοῖς ἀμφοτέρων τούτων τετυχηκόσι (λέγω δ' ἀμφοτέρων τοῦ τε ζῷον εἶναι καὶ τοῦ ζῆν) ἀνάγκη ταὐτὸν εἶναι καὶ ἓν μόριον καθ' ὅ τε ζῇ καὶ καθ' ὃ προσαγορεύομεν αὐτὸ ζῷον· τὸ μὲν γὰρ ζῷον ᾗ ζῷον ἀδύνατον μὴ ζῆν· ᾗ δὲ ζῇ, ταύτῃ ζῷον ὑπάρχειν οὐκ ἀναγκαῖον· τὰ γὰρ φυτὰ ζῇ μέν, οὐκ ἔχει δ' αἴσθησιν, τῷ δ' αἰσθάνεσθαι τὸ ζῷον πρὸς τὸ μὴ ζῷον διορίζομεν.*

*ἀριθμῷ μὲν οὖν ἀναγκαῖον ἓν εἶναι καὶ τὸ αὐτὸ τοῦτο τὸ μόριον, τῷ δ' εἶναι πλείω καὶ ἕτερα· οὐ γὰρ ταὐτὸ τὸ ζῴῳ εἶναι καὶ τὸ ζῆν. ἐπεὶ οὖν τῶν ἰδίων αἰσθητηρίων ἕν τι κοινόν ἐστιν αἰσθητήριον, εἰς ὃ τὰς κατ' ἐνέργειαν αἰσθήσεις ἀναγκαῖον ἀπαντᾶν, τοῦτο δ' ἂν εἴη μέσον τοῦ πρόσθεν καλουμένου καὶ ὄπισθεν (ἔμπροσθεν μὲν γὰρ λέγεται ἐφ' ὅ ἐστιν ἡμῖν ἡ αἴσθησις, ὄπισθεν δὲ τὸ ἀντικείμενον), ἔτι δὲ διῃρημένου τοῦ σώματος τῶν ζώντων πάντων τῷ τ' ἄνω καὶ κάτω (πάντα γὰρ ἔχει τὸ*

Tit. *Ἀριστοτέλους περὶ νεότητος καὶ γήρως καὶ ζωῆς καὶ θανάτου M*: *περὶ νεότητος καὶ γήρως καὶ ζωῆς καὶ θανάτου καὶ ἀναπνοῆς Z*: *Ἀριστοτέλους περὶ γήρως καὶ νεότητος καὶ ζωῆς καὶ θανάτου καὶ ἀναπνοῆς S* 10 *περὶ*$^2$ om. *LPX* 11 *λεκτέον νῦν aPSM*$^1$: *νῦν λεκτέον LX* 12 *τὸ*] *καὶ τὸ Z* 15 *ὅμως* om. *aLX* 17 *ἢ*$^1$ om. *a* 18 *βαλεῖν L* *τὸ S* 19 *τοῖς*+*ζῴοις a* *τούτων* . . . 20 *ἀμφοτέρων* om. *a* 20 *τοῦ*$^2$] *τὸ X* 21 *τε*] *γε M* 22 *ᾗ ζῷον* om. *a* 23 *ἀνάγκη S* 24 *τῷ*] *τὸ P* 25 *ἀναγκαῖον εἶναι ἓν καὶ αὐτὸ P*: *ἓν ἀναγκαῖον εἶναι τὸ αὐτὸ S* 26 *τὸ*$^2$ om. *MS* 27 *ἕτερον bP* *τὸ* om. *MPS* *ζῷον L*$^1$*X* *εἶναι*] *τε εἶναι PS* 28 *ἐπεὶ bPM*$^1$: *ἐπειδὴ a* *τι bPM*$^1$: om. *a* 30 *εἴη* om. *X* 31 *ὦ LX*: *ὧν M* 32 *τῶν*+*μὲν a* 33 *ζῴων τῶν πάντων M* *τῷ τ'*] *τό τ' Z*: *τῷ X*